# ΔΕΗΣΙΣ
# ΥΠΕΡ ΑΔΙΑΣΠΑΣΤΟΥ ΣΥΖΥΓΙΑΣ

## Εἰς τήν Ὁσίαν μητέραν ἡμῶν Θωμαΐδα, τήν ἐκ Λέσβου καί Θαυματουργόν

**Ὁ ἱερεύς:** *Εὐλογητός ὁ Θεός ἡμῶν πάντοτε, νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων.*

**Ὁ λαός:** *Ἀμήν!*

## Τό ἀπολυτίκιον τῆς Ὁσίας.
## Ἦχος δ'. Ταχύ προκατάλαβε...

*Τάς θλίψεις τοῦ βίου σου, ὡς προσφοράν λογικήν, Χριστῷ προσενέγκασα, τήν τῶν θαυμάτων ἰσχύν, Ὁσία ἀντείληφας. Ὅθεν ὡς συζυγίας, ὑποτύπωσιν θείαν, μέλπομεν Θωμαΐς σε, καί πιστῶς σοι βοῶμεν· χαῖρε τῆς νήσου Λέσβου, σεμνόν ἐγκαλλώπισμα.*

**Ὁ ἱερεύς:** *Τοῦ Κυρίου δεηθῶμεν.*

**Ὁ λαός:** *Κύριε, ἐλέησον.*

**Ὁ ἱερεύς:** *Κύριε ὁ Θεός ἡμῶν, ὁ τῆς ἀγάπης φυτουργός καί τῆς εἰρήνης βραβευτής καί τῆς ὁμονοίας δοτήρ· ὁ τοῦ μυστικοῦ καί ἀχράντου γάμου ἱερουργός καί τοῦ σωματικοῦ νομοθέτης· ὁ ἐν τῇ σωτηριώδῃ σου οἰκονομίᾳ καταξιώσας ἐν Κανᾶ τῆς Γαλιλαίας τίμιον ἀναδεῖξαι τον γάμον, διά τῆς σῆς παρουσίας· ὁ εἰπῶν «οὕς ὁ Θεός συνέζευξεν, ἄνθρωπος μη χωριζέτω», καί διά τοῦ Προφήτου Σου Μαλαχίου ἀποκαλύψας ἡμῖν, ὅτι «μισεῖ Κύριος, ὁ Θεός, τήν διάζευξιν»· ἐπάκουσον τῆς δεήσεως ἡμῶν τῶν ταπεινῶν ἱκετῶν Σου, ὑπέρ τῶν δούλων Σου (τόν δεῖνα) καί (τήν δεῖνα), τῶν ὁμοζύγων, ὧν ἡ συζυγία χωλαίνει.*

*Δώρησε αὐτοῖς ἀγάπην τελείαν, ζωήν εἰρηνικήν, ὁμόνοιαν ψυχῆς καί σώματος. Ποίησον τόν σύνδεσμον αὐτῶν σταθηρόν, τήν συνάφειαν ἀδιάσπαστον καί Ἄγγελος Κυρίου διαφυλάττει καί περιφρουρεῖ αὐτούς, πάσας τάς ἡμέρας τῆς ζωῆς αὐτῶν.*

*Ναί, Κύριε, ὁ Θεός ἡμῶν, ὁ τά διῃρημένα συναγαγών εἰς ἑνότητα, ὁ τό μεσότοιχον τῆς ἔχθρας καταλύσας καί εἰρήνην τῷ γένει τῶν ἀνθρώπων δωρησάμενος, Σοῦ δεόμεθα και, θερμῶς Σε παρακαλοῦμεν· ἔπιδε ἐπί τούς δούλους Σου (τόν δεῖνα) καί (τήν δεῖνα), τούς τῇ Σῇ προνοίᾳ πρός γάμου κοινωνίαν συναφθέντας, καί ἐπίχεε ἐπ' αὐτούς*

*τήν εὐλογίαν Σου. Ἀπόθου ἐκ τῶν καρδιῶν αὐτῶν πᾶσαν λύπην. Καταπράϋνον αὐτῶν τήν βιοτήν· τήν συζυγίαν αὐτῶν καί πάντων τῶν εὐσεβῶν Χριστιανῶν στήριξον, καί διατήρησον.*

*Πρεσβεῖες τῆς παναχράντου καί παναμώμου Ἁγίας Σου Μητρός, ἱκεσίες τοῦ δικαίου Ἰωσήφ τοῦ Μνήστορος, τῶν Ἁγίων σεσωσμένων ὁμοζύγων: Ἀβραάμ καί Σάρρας, Ἰσαάκ καί Ρεβέκκας, Ἰακώβ καί Ῥαχήλ, Μωϋσέως καί Σεπφόρας, Ἰωακείμ καί Ἄννης, Ζαχαρίου καί Ἐλισάβετ, Ἀκύλα καί Πρισκίλλης, Ξενοφῶντος και Μαρίας, Μαρκιανοῦ καί Πουλχερίας, Χρυσάνθου καί Δαρείας, Κλαυδίου και Ἰλαρίας, Βασιλείου καί Ἐμμελίας, Δωροθέου καί Εὐσεβίας, Γαλακτίωνος καί Ἐπιστήμης, Ἀνδριανοῦ καί Ναταλίας.*

*Ἐξαιρέτως δε, Δέσποτα, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός ἡμῶν, εἰσάκουσον τάς ὑπέρ τῶν δούλων Σου (τόν δεῖνα) καί (τήν δεῖνα), δεήσεις τῆς Ὁσίας Μητρός ἡμῶν Θωμαΐδος τῆς ἐκ Λέσβου, προστάτιδος τῆς συζυγίας, καί ἐπανάγαγε εἰς αὐτούς τήν διαταραχθεῖσαν εἰρήνην. Ἐμφύτευσον εἰς τάς καρδίας αὐτῶν ἀγάπην, ὑπομονήν, ταπείνωσιν καί καρτερίαν. Ἐπιδαψίλευσον αὐτοῖς γαλήνην οἰκογενειακήν καί πολιτείαν ἀνεπιβούλευτον, ἵνα οἱ δούλοι Σου (δεῖνας) καί (δεῖνα), ἀπολάβωσι τόν ἀμαράντινον τῆς δόξης στέφανον,*

***καί ἐν Παραδείσῳ δοξάσωσί Σε, τόν μόνον τῆς ἀγάπης Θεόν, τόν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, σῦν τῷ ἀνάρχῳ Αὐτοῦ Πατρί καί τῷ Παναγίῳ καί Ἀγαθῷ καί Ζωαρχικῷ Πνεύματι.***

**Ὁ λαός:** *Ἀμήν!*

*Καί τά ἑπόμενα τροπάρια ἀπό τόν Κανόνα τῆς Ὁσίας*

**Ὠδή γ'. Οὐρανίας ἀψῖδος...**

**Ἀγία τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν**

*Ἰδιόρρυθμα ζεύγη, ὦ Θωμαΐς σύ διόρθωσον, ταῖς πρός τόν Δεσπότην πρεσβείαις σου καί δεήσεσι, καί συμφιλίωσον ταῦτα εἰς τέλος ἁγία, ἵν' ἐκ πόθου κράζωσι δόξα Σοι Κύριε.*

**Ἀγία τοῦ Θεοῦ, πρέσβευε ὑπέρ ἡμῶν**

*Δυναταῖς σου πρεσβείαις, ὦ Θωμαΐς ἐκδυσώπησον, μέγαν τε καί μόνον Δυνάστην ὑπέρ τῶν δούλων σου, τῶν ὁμοζύγω δή, ὧν συζυγία χωλαίνει, καί σταθηρόν ποίησον τούτων τόν σύνδεσμον.*

**Δόξα Πατρί καί Υἱῷ καί Ἁγίῳ Πνεύματι**

*Ἀνδρῶν ὅσων ἡ πίστις τε καί τά ἔργα ἀπάδουσι, πρός ἐπαγγελίας καί ὅρκους οἷς ἐδεσμεύθησαν, ταῖς ὁμοζύγοις δή, καί Ἐκκλησίας Νυμφίῳ, συζυγίας στήριξον καί διατήρησον.*

**Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν**

*Λύπην πᾶσαν ἀπόθου ἐκ τῆς καρδίας Ἀνύμφευτε, Νύμφη τοῦ Θεοῦ τοῦ Ὑψίστου, καί Μήτερ Ἄχραντε, Υἱοῦ καί Λόγου τε, καί τῶν συζύγων ἁπάντων, οὕς καί καταπράϋνον καί καλοφρόνησον.*

**Ὁ ἱερεύς:** *Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς.*

**Ὁ λαός:** *Ἀμήν!*

